UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Theologōn diaphorōn syngrammata palaia kai orthodoxa

**Gessner, Conrad**

**Tiguri, 1560**

**VD16 G 1810**

Canones Sanctorvm Et Beatorvm Patrvm Qvi In Laodicea Phrygiæ conuenerunt.

urn:nbn:de:hbz:466:1-72021

Visual Library

stétibus rebus quæ sunt ecclesiæ, nec ipsæ colla psę depereāt, nec quę ꝓpria ꝓbantur episcopi, sub occasione rerũ peruadantur ecclesiæ. Iustũ namq; & acceptũ est corā Deo & hominibus, ut sua Episcopus quibus uoluerit derelinquat: & quę ecclesię sunt, eidē cōseruētur ecclesię, ut nec ecclesia aliquod patiatur incōmodũ, nec Episcopus sub occasione proscribatur ecclesiæ, & in causas incidant qui ad eum pertinent, & ipse post obitum maledictionibus ingrauetur.

βίον, φανερῶν ὄντων τῶν διαφερόντων τῇ ἐκκλησίᾳ πραγμάτων, μήτε ταῦτα διαπίπτειν καὶ ἀπόλλυσθαι, μήτε τὰ ἴδια τοῦ ἐπισκόπου ἐνοχλεῖσθαι προφάσει τῶν ἐκκλησιαστικῶν πραγμάτων. δίκαιον γὰρ καὶ ἀρεστὸν παρά τε τῷ θεῷ καὶ ἀνθρώποις, τὰ ἴδια τοῦ ἐπισκόπου, οἷς ἂν αὐτὸς βούλεται καταλιμπάνεσθαι. τὰ μέντοι τῆς ἐκκλησίας, αὐτῇ φυλάττεσθαι· καὶ μήτε τὴν ἐκκλησίαν ὑπομένειν ζημίαν, μήτε τὸν ἐπίσκοπον προφάσει τῆς ἐκκλησίας δημεύεσθαι, ἢ καὶ εἰς πράγματα ἐμπίπτειν τοὺς αὐτῷ διαφέροντας, μετὰ τοῦ καὶ αὐτὸν μετὰ θάνατον δυσφημίᾳ περιβάλλεσθαι.

25 Episcopus ecclesiasticarũ rerũ habeat potestatē ad dispensandũ erga omnes qui indigent, cũ summa reuerentia & timore Dei. Participet autē & ipse quibus indiget (si tamen indiget) tā in suis quàm in fratrũ qui ab eo suscipiũtur, necessarijs usibus profuturis, ita ut in nullo qualibet occasione fraudētur, iuxta sanctũ Apostolũ sic dicentē: Habētes uictũ & tegumentũ, his contenti simus. Quòd si cōtentus istis minimè fuerit, conuertat autē res ecclesiæ in suos usus domesticos, & eius cōmoda, uel agrorũ fructus nō cum presbyterorũ cōscientia Diaconorũq; pertractet, sed horũ potestatē domesticis suis, aut propinquis, aut fratribus, filijsq; cōmittat, ut per huiusmodi personas occultæ lædātur ecclesiæ rationes, synodo prouincię pœnas persoluat. Si autē & aliter accusetur episcopus, aut presbyteri qui cũ ipso sunt, quod ea quæ pertinēt ad ecclesiā, uel ex agris, uel ex alia qualibet ecclesiastica facultate sibimet usurpēt, ita ut ex hoc affligantur quidē pauperes, criminationi uerò & blasphemijs tam sermo prædicationis quàm hi qui dispensant, taliter exponantur, & hos oportet corrigi, sancta synodo id quod condecet iudicante.

Ἐπίσκοπον ἔχειν τῶν τῆς ἐκκλησίας πραγμάτων ἐξουσίαν. ὥστε διοικεῖν εἰς πάντας τοὺς δεομένους, μετὰ πάσης εὐλαβείας καὶ φόβου θεοῦ. μεταλαμβάνειν δὲ καὶ αὐτὸν τῶν δεόντων (εἴγε δέοιτο) εἰς τὰς ἀναγκαίας αὐτοῦ χρείας καὶ τῶν παρ' αὐτῷ ἐπιξενουμένων ἀδελφῶν, ὡς κατὰ μηδένα τρόπον αὐτοὺς ὑστερεῖσθαι. κατὰ τὸν θεῖον ἀπόστολον λέγοντα. ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. εἰ δὲ μὴ τούτοις ἀρκοῖτο, μεταβάλλοι δὲ τὰ πράγματα εἰς οἰκείας αὐτοῦ χρείας, καὶ τοὺς πόρους τῆς ἐκκλησίας ἢ τοὺς τῶν ἀγρῶν καρποὺς, τὴν μετὰ γνώμης τῶν πρεσβυτέρων ἢ τῶν διακόνων χειρίζοι, ἀλλ' οἰκείοις αὐτοῦ καὶ συγγενέσιν ἢ ἀδελφοῖς ἢ υἱοῖς παράσχοι τὴν ἐξουσίαν, εἰς τὸ, διὰ τῶν τοιούτων λεληθότως βλάπτεσθαι τοὺς λόγους τῆς ἐκκλησίας. τοῦτον εὐθύνας παρέχειν τῇ συνόδῳ τῆς ἐπαρχίας. εἰ δὲ καὶ ἄλλως διαβάλλοιτο ὁ ἐπίσκοπος ἢ οἱ σὺν αὐτῷ πρεσβύτεροι, ὡς τὰ τῇ ἐκκλησίᾳ διαφέροντα, ἤτοι ἐξ ἀγρῶν ἢ καὶ ἐξ ἑτέρας προφάσεως ἐκκλησιαστικῆς εἰς ἑαυτοὺς ἀποφερόμενοι, ὡς θλίβεσθαι μὲν τοὺς πένητας, διαβολὴν δὲ καὶ δυσφημίαν προστρίβεσθαι τῷ τε λόγῳ καὶ τοῖς οὕτω διοικοῦσιν· καὶ τούτους διορθώσεως τυγχάνειν, τὸ πρέπον δοκιμαζούσης τῆς ἁγίας συνόδου.

# ΚΑΝΟΝΕΣ ΤΩΝ ΕΝ ΛΑΟΔΙΚΕΙΑι ΤΗΣ ΦΡΥΓΙΑΣ ΣΥΝΕΛΘΟΝΤΩΝ ΑΓΙΩΝ ΚΑΙ μακαρίων πατέρων.

# CANONES SANCTORVM ET BEATORVM PATRVM QVI IN LAODICEA Phrygiæ conuenerunt.

SAncta synodus quæ apud Laodiceā Phrigiæ Pacatianæ conuenit ex diuersis prouincijs Asiæ, regulas exposuit ecclesiasticas, sicut infra scriptum est.

Ἡ ἁγία σύνοδος ἡ κατὰ Λαοδίκειαν τῆς Φρυγίας Πακατιανῆς συγκροτηθεῖσα ἐκ διαφόρων ἐπαρχιῶν τῆς Ἀσιανῆς, ὅρους ἐξέθετο ἐκκλησιαστικοὺς, οὓς ὑποτέτακται.

De eo quod oportet secundùm ecclesiasticum canonē eos qui liberè & legitimè secũdis

Περὶ τοῦ, δεῖν κατὰ τὸν ἐκκλησιαστικὸν κανόνα τοὺς ἐλευθέρως καὶ νομίμως συναφθέντας δευτέροις γάμοις

γάμοις, μὴ λαθρογαμίαν ποιήσαντες, ὀλίγου χρόνου παρελθόντος, καὶ σχολασάντων ταῖς προσευχαῖς καὶ νηστείαις, κατὰ συγγνώμην ἀποδίδοσθαι αὐτοῖς τὴν κοινωνίαν ὡρίσαμεν.

Περὶ τοῦ, τοὺς ἐξαμαρτάνοντας ἐν διαφόροις πταίσμασι, καὶ προσκαρτεροῦντας τῇ προσευχῇ τῆς ἐξομολογήσεως καὶ μετανοίας, καὶ τὴν ἀποστροφὴν τῶν κακῶν τελείαν ποιουμένους, κατὰ τὴν ἀναλογίαν τοῦ πταίσματος, καιροῦ μετανοίας δοθέντος τοῖς τοιούτοις, διὰ τοὺς οἰκτιρμοὺς καὶ τὴν ἀγαθότητα τοῦ θεοῦ προσάγεσθαι τῇ κοινωνίᾳ.

Περὶ τοῦ, μὴ δεῖν πρόσφατον φωτισθέντας, προσάγεσθαι ἐν τάγματι ἱερατικῷ.

Περὶ τοῦ, μὴ δεῖν ἱερατικοὺς δανείζειν καὶ τόκους, καὶ τὰς λεγομένας ἡμιολίας λαμβάνειν.

Περὶ τοῦ, μὴ δεῖν τὰς χειροτονίας ἐπὶ παρουσίᾳ ἀκροωμένων γίνεσθαι.

Περὶ τοῦ, μὴ συγχωρεῖν τοῖς αἱρετικοῖς εἰσιέναι εἰς τὸν οἶκον τοῦ θεοῦ, ἐπιμένοντας τῇ αἱρέσει.

Περὶ τοῦ, τοὺς ἐκ τῶν αἱρέσεων, τουτέστιν Νουατιανῶν ἤτοι Φωτεινιανῶν ἢ τεσσαρεσκαιδεκατιτῶν ἐπιστρεφομένους, εἴτε πιστοὺς τοὺς παρ' ἐκείνοις, μὴ προσδέχεσθαι, πρὶν ἀναθεματίσωσι πᾶσαν αἵρεσιν, ἐξαιρέτως δὲ ἐν ᾗ κατείχοντο, καὶ τότε λοιπὸν τοὺς λεγομένους παρ' αὐτοῖς πιστούς, ἐκμανθάνοντας τὰ τῆς πίστεως σύμβολα, χρισθέντας τε τῷ ἁγίῳ χρίσματι, οὕτω κοινωνεῖν τῷ μυστηρίῳ τῷ ἁγίῳ.

Περὶ τοῦ, τοὺς ἀπὸ τῆς αἱρέσεως τῶν λεγομένων Φρυγῶν ἐπιστρέφοντας, εἰ καὶ ἐν κλήρῳ νομιζομένῳ παρ' αὐτοῖς τυγχάνοιεν, εἰ καὶ μέγιστοι λέγοιντο, τοὺς τοιούτους μετὰ πάσης ἐπιμελείας κατηχεῖσθαί τε καὶ βαπτίζεσθαι ὑπὸ τῶν τῆς ἐκκλησίας ἐπισκόπων τε καὶ πρεσβυτέρων.

Περὶ τοῦ, μὴ συγχωρεῖν εἰς τὰ κοιμητήρια ἢ εἰς τὰ λεγόμενα μαρτύρια πάντων τῶν αἱρετικῶν ἀπιέναι τοὺς τῆς ἐκκλησίας, εὐχῆς ἢ θεραπείας ἕνεκα· ἀλλὰ τοὺς τοιούτους, ἐὰν ὦσι πιστοί, ἀκοινωνήτους γίνεσθαι μέχρι τινός. μετανοοῦντας δὲ καὶ ἐξομολογουμένους ἐσφάλθαι, παραδέχεσθαι.

Περὶ τοῦ, μὴ δεῖν τοὺς τῆς ἐκκλησίας ἀδιαφόρως πρὸς γάμου κοινωνίαν συνάπτειν τὰ ἑαυτῶν παιδία αἱρετικοῖς.

Περὶ τοῦ, μὴ δεῖν τὰς λεγομένας πρεσβύτιδας ἤτοι προκαθημένας, ἐν ἐκκλησίᾳ καθίστασθαι.

Περὶ τοῦ, τοὺς ἐπισκόπους κρίσει τῶν μητροπολιτῶν καὶ τῶν πέριξ ἐπισκόπων καθίστασθαι εἰς τὴν ἐκκλησιαστικὴν ἀρχήν, ὄντας ἐκ πολλοῦ δεδοκιμασμένους, ἔν τε τῷ λόγῳ τῆς πίστεως, καὶ τῇ τοῦ εὐθέος λόγου πολιτείᾳ.

Περὶ τοῦ, μὴ τοῖς ὄχλοις ἐπιτρέπειν τὰς ἐκλογὰς ποιεῖσθαι τῶν μελλόντων καθίστασθαι εἰς ἱερατεῖον.

nuptijs iuncti sunt, nec occultam permistionẽ operati sunt, pauco tempore exempto, uacare orationibus & ieiunijs, secundum ueniam reddi eis communionem.

2 Hi qui diuersorum peccatorum lapsus incurrunt, & oratione & confessione, ac pœnitentia malorum suorum perfectam conuersionem demonstrant, pro qualitate peccati, pœnitentiæ tempore his dato tribuendũ est, propter misericordiam & bonitatem Dei, ad communionem sunt applicandi.

3 Non oportet neophytum promoueri ad ordinem sacerdotalem.

4 Non licere fœnerare in sacerdotali ordine cõstitutis, uel usuras uel lucra quæ sesquialtera dicũtur, accipere.

5 Non licere manus impositionem super ordinandos, præsentibus catechumenis fieri.

6 Non concedendum hæreticis ingressum domus Dei in hæresi permanentibus.

7 Nouatianos uel Photianos, uel etiam quartodecimanos quos Græci Thessarescædecatites appellant, id est, qui quartadecima luna primi mensis cum Iudeis Pascha celebrãt conuersos, sed & eorum fideles non recipi, priusquam condemnent omnem heresim maximè uero eam in qua detinebantur: & tunc, qui apud eos fideles dicuntur, symbolũ fidei doceantur, atq; ita unctos etiam sancto Chrismate diuino sacramento communicare conuenit.

8 Eos qui conuertuntur ab hæresi quę dicitur Cataphrygarũ, & si in ipsorum clero opinato, & quãuis magni dicantur, huiusmodi cum omni diligentia catechizari oportet, & baptizari ab ecclesiæ & Episcopis & presbyteris.

9 Non concedendum in cœmeteria, uel quæ martyria hęreticorum dicũtur, Catholicos orationis gratia & petendæ curationis intrare. Sed & qui ierint, si sunt fideles, incõmunicabiles factos ad pœnitentiã usq; ad aliquod tempus redigi. Pœnitentes autem eos, & errasse se confitentes, suscipi oportere.

10 Eos qui ad ecclesiam pertinent, indifferẽter filios proprios hæreticorum nuptijs minimè sociare debere.

11 Mulieres quæ apud Græcos presbyteræ uel præsidentes appellantur (apud nos uiduę seniores, uniuirę, matricuriæ appellantur) in ecclesia tanquam ordinatas constitui non debere.

12 Episcopi iudicio Metropolitanorum & finitimorum Episcoporum constituantur ad ecclesiæ principatum, qui multò antè in sermone fidei & recta operatione per suam conuersationem fuerint probati.

13 De eo quòd non sit populis concedendum electionem facere eorum qui altaris ministerio sunt applicandi.

14 Sanctas oblationes ad uicem eulogiarũ, per feſtiuitatem Paſchalem ad alias parochias mitti minimè oportere.

15 Nó licere prẹter eos qui regulariter cantores exiſtunt, quicq́ pulpitũ aſcendunt, & de codice legunt, alium quemlibet in eccleſia pſallere.

16 Sabbatis Euangelia cum alijs ſcripturis legẽda eſſe cenſemus.

17 In proceſsionibus, non connectere, id eſt ex diuerſis uerſibus & ſenſibus libri unum canticũ minimè coniungere, ſed ſingulorum pſalmorũ ordinabiliter debere fieri lectionem.

18 De eo quod ſemper ſupplicationes orationũ etiam oportet ad ueſperam celebrari.

19 De eo quod oportet ſeparatim poſt concionem epiſcopi preces catichumenorum perficere: quibus egreſsis orent etiam hi qui in pœnitẽtia ſunt cõſtituti. Et poſt manus impoſitionem his quoq́ ſecedentibus, tunc fideles orare debebunt. Quorum tres orationes fiant, una quidẽ, id eſt prima, per ſilentium, ſecunda uero & tertia per uocis pronunciationem, & tũc demum pacem dari debere. Et poſteà quàm presbyteri Epiſcopo pacem dederint, tunc oblatio offeratur. Solis autem miniſtris altaris liceat ingredi ad altare, & ibidem communicare.

20 Non oportet diaconum ſedere ante presbyterum, ſed ex iuſsione presbyteri ſedeat. Similiter autem honorificetur & diaconus à miniſtris inferioribus & omnibus clericis.

21 Non oportet ſubdiaconos licentiam habere in ſecretarium, ſiue ſacrarium (quod Græci diaconicon appellant) ingredi, & contingere uaſa Dominica.

22 Miniſtrũ non oportet oratione uti, nec oſtia derelinquere.

23 Non oportet lectores aut pſalmiſtas orarijs uti, & ſic legere aut pſallere.

24 Non oportet clericos ſeruientes à presbyteris uſque ad diaconos, & deinceps ordinis eccleſiaſtici omnes uſque ad miniſtros, aut lectores, aut pſalmiſtas, aut exorciſtas, aut oſtiarios, aut etiã eos qui in propoſito continentiæ ſunt, tabernas intrare.

25 Non oportet diaconum panem dare, nec calicem benedicere.

26 Non oportet exorcizare eos qui necdum ab Epiſcopis ſunt prouecti, neq́ in eccleſijs, neque intra domos.

27 Non oportet miniſtros altaris, uel quoslibet clericos aut laicos ad Agapen uocatos, partes tollere propter iniuriam quæ ex hac occaſione eccleſiaſtico ordini poſsit deputari.

28 Non oportet in baſilicis ſeu eccleſijs Agapẽ facere, & domo Dei manducare, uel accubitus ſternere.

14 Περὶ τοῦ, μὴ τὰ ἅγια εἰς λόγον εὐλογιῶν κατὰ τὴν ἑορτὴν τοῦ πάσχα, εἰς ἑτέρας παροικίας διαπέμπεσθαι.

15 περὶ τοῦ, μὴ δεῖν πλέον τῶν κανονικῶν ψαλτῶν τῶν ἐπὶ τὸν ἄμβωνα ἀναβαινόντων, καὶ ἀπὸ διφθέρας ψαλλόντων, ἑτέρους τινὰς ψάλλειν ἐν ἐκκλησίᾳ.

16 περὶ τοῦ, ἐν σαββάτῳ εὐαγγέλια μετὰ ἑτέρων γραφῶν ἀναγινώσκεσθαι.

17 περὶ τοῦ, μὴ δεῖν προσυνάπτειν ἐν ταῖς συνάξεσι τοὺς ψαλμοὺς, ἀλλὰ διὰ μέσου καθ' ἕκαστον ψαλμὸν γίνεσθαι ἀνάγνωσιν.

18 περὶ τοῦ, τὴν αὐτὴν λειτουργίαν τῶν εὐχῶν πάντοτε καὶ ἐν ταῖς ἐννάταις, καὶ ἐν ταῖς ἑσπέραις ὀφείλειν γίνεσθαι.

19 περὶ τοῦ, δεῖν ἰδίᾳ πρῶτον μετὰ τὰς ὁμιλίας τῶν ἐπισκόπων καὶ τῶν κατηχουμένων εὐχὴν ἐπιτελεῖσθαι, καὶ μετὰ τὸ ἐξελθεῖν τοὺς κατηχουμένους, τῶν ἐν μετανοίᾳ τὴν εὐχὴν γίνεσθαι, καὶ τούτων προσελθόντων ὑπὸ χεῖρα καὶ ὑποχωρησάντων. οὕτως τῶν πιστῶν τὰς εὐχὰς γίνεσθαι τρεῖς, μίαν μὲν τὴν πρώτην, διὰ σιωπῆς. τὴν δὲ δευτέραν καὶ τρίτην διὰ προσφωνήσεως πληροῦσθαι· εἶθ' οὕτως τὴν εἰρήνην δίδοσθαι. καὶ μετὰ τὸ, πρεσβυτέρους δοῦναι τῷ ἐπισκόπῳ τὴν εἰρήνην, τότε τοὺς λαϊκοὺς τὴν εἰρήνην διδόναι. καὶ οὕτω τὴν ἁγίαν προσφορὰν ἐπιτελεῖσθαι. καὶ μόνοις ἐξὸν εἶναι τοῖς ἱερατικοῖς εἰσιέναι εἰς τὸ θυσιαστήριον, καὶ κοινωνεῖν.

20 ὅτι οὐ δεῖ διάκονον ἔμπροσθεν πρεσβυτέρου καθέζεσθαι, ἀλλὰ μετὰ κελεύσεως τοῦ πρεσβυτέρου καθέζεσθαι. ὁμοίως δὲ ἔχειν τιμὴν καὶ τοὺς διακόνους ὑπὸ τῶν ὑπηρετῶν, καὶ πάντων τῶν κληρικῶν.

21 ὅτι οὐ δεῖ ὑπηρέτας ἔχειν χώραν ἐν τῷ διακονικῷ καὶ ἅπτεσθαι δεσποτικῶν σκευῶν.

22 ὅτι οὐ δεῖ ὑπηρέτην ὠράριον φορεῖν, οὐδὲ τὰς θύρας ἐγκαταλιμπάνειν.

23 ὅτι οὐ δεῖ ἀναγνώστας ἢ ψάλτας ὠράριον φορεῖν, καὶ οὕτως ἀναγινώσκειν ἢ ψάλλειν.

24 ὅτι οὐ δεῖ ἱερατικοὺς ἀπὸ πρεσβυτέρων ἕως διακόνων, καὶ ἑξῆς τῆς ἐκκλησιαστικῆς τάξεως ἕως ὑπηρετῶν ἢ ἀναγνωστῶν ἢ ψαλτῶν ἢ ἐπορκιστῶν ἢ θυρωρῶν ἢ τοῦ τάγματος τῶν ἀσκητῶν, εἰς καπηλεῖον εἰσιέναι.

25 ὅτι οὐ δεῖ ὑπηρέτας ἄρτον διδόναι, οὐδὲ ποτήριον εὐλογεῖν.

26 ὅτι οὐ δεῖ ἐπορκίζειν τοὺς μὴ προαχθέντας ὑπὸ ἐπισκόπων, μήτε ἐν ταῖς ἐκκλησίαις, μήτε ἐν ταῖς οἰκίαις.

27 ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς ἢ λαϊκοὺς καλουμένους εἰς ἀγάπην, μέρη αἴρειν, διὰ τὸ, τὴν ὕβριν τῇ τάξει προστρίβεσθαι τῇ ἐκκλησιαστικῇ.

28 ὅτι οὐ δεῖ ἐν τοῖς κυριακοῖς ἢ ἐν ταῖς ἐκκλησίαις, τὰς λεγομένας ἀγάπας ποιεῖν, καὶ ἐν τῷ οἴκῳ τοῦ θεοῦ ἐσθίειν καὶ ἀκούβιτα στρωννύειν.

ὅτι

ὅτι οὐ δεῖ χριστιανοὺς ἰουδαΐζειν καὶ ἐν τῷ σαββάτῳ 29
σχολάζειν. * ὡς χριστιανοί. εἰ δὲ εὑρεθεῖεν ἰου-
δαϊσταί, ἔστωσαν ἀνάθεμα παρὰ χριστῷ.

Non oportet Christianos iudaizare, & in sab
batho uacare, sed operari eos in eadem die, Do
minicam præponendo eidē diei. Si hoc eis pla-
cet, uacent tanquam Christiani. Quòd si inuen
ti fuerint iudaizare, anathema sint.

ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς ἢ ἀσκητάς, ἐν βα- 30
λανείῳ μετὰ γυναικῶν ἀπολούεσθαι, μηδὲ πάντα χρι-
στιανόν, ἢ λαϊκόν. αὕτη γὰρ πρώτη κατάγνωσις παρὰ
τοῖς ἔθνεσιν.

Non oportet ministros altaris, uel etiam cleri
cos quoslibet, aut cōtinentes se, aut omnē oīo
Christianū cū mulierib. lauacra habere cōmu-
nia. Est eīm apud Gentiles prima reprehensio.

ὅτι οὐ δεῖ πρὸς πάντας αἱρετικοὺς ἐπιγαμίας 31
ποιεῖν, ἢ διδόναι υἱοὺς ἢ θυγατέρας. ἀλλὰ μᾶλλον
λαμβάνειν εἴγε ἐπαγγέλλοιντο χριστιανοὶ γίνεσθαι.

Non oportet cum hæreticis commiscere cō
nubia, uel filios & filias dare, sed potius accipe
re, si tamen profiteantur Christianos se futuros
esse & Catholicos.

ὅτι οὐ δεῖ αἱρετικῶν εὐλογίας λαμβάνειν. αἵτι- 32
νές εἰσιν ἀλογίαι μᾶλλον, ἢ εὐλογίαι.

Non oportet hæreticorū benedictiones ac-
cipere, quoniam maledictiones magis sunt quā
benedictiones.

ὅτι οὐ δεῖ αἱρετικοῖς, ἢ σχισματικοῖς συνεύχεσθαι. 33

Non oportet cum hęreticis uel schismaticis orare.

ὅτι οὐ δεῖ πάντα χριστιανὸν ἐγκαταλείπειν μάρ- 34
τυρας χριστοῦ, καὶ ἀπιέναι πρὸς τοὺς ψευδομάρτυρας,
τοῦτ' ἔστιν αἱρετικῶν, ἢ αὐτοὺς πρὸς τοὺς προειρημένους
αἱρετικοὺς γενομένους. οὗτοι γὰρ ἀλλότριοι τοῦ θεοῦ
τυγχάνουσιν. ἔστωσαν οὖν ἀνάθεμα, οἱ ἀπερχόμενοι 35
πρὸς αὐτούς.

Non oportet omnino Christianū derelictis
martyribus Christi abire ad falsos martyres. Hi
enim alieni à Deo sunt. Quicunque autem abi-
re uoluerint, anathema sint.

ὅτι οὐ δεῖ χριστιανοὺς ἐγκαταλείπειν τὴν ἐκκλη-
σίαν τοῦ θεοῦ, καὶ ἀπιέναι καὶ ἀγγέλους ὀνομάζειν καὶ συ-
νάξεις ποιεῖν. ἅπερ ἀπηγόρευται. εἴ τις οὖν εὑρε-
θῇ ταύτῃ τῇ κεκρυμμένῃ εἰδωλολατρείᾳ σχολάζων,
ἔστω ἀνάθεμα. ὅτι ἐγκατέλιπε τὸν κύριον ἡμῶν ἰησοῦν
χριστόν, τὸν υἱὸν τοῦ θεοῦ, καὶ εἰδωλολατρείᾳ προσῆλθεν. 36

Non oportet Christianos, derelicta ecclesia
Dei abire, & ad Angelos appellare, & congre-
gationes facere: quę omnia interdicta sunt. Qui
cunque autem inuentus fuerit occultæ huic ido-
lolatriæ uacans, anathema sit, quoniam derelin
quens Dominum nostrum Iesum Christum fi-
lium Dei, accessit ad idola.

ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικούς, μάγους ἢ ἐπαοι-
δοὺς εἶναι, ἢ μαθηματικοὺς ἢ ἀστρολόγους, ἢ ποιεῖν τὰ
λεγόμενα φιλακτήρια. ἅτινά ἐστι δεσμωτήρια τῶν
ψυχῶν αὐτῶν. τοὺς δὲ φοροῦντας, ῥίπτεσθαι ἐκ τῆς
ἐκκλησίας ἐκελεύσαμεν.

Non oportet ministros altaris, aut clericos,
magos & aut incantatores aut mathematicos,
aut astrologos esse, aut facere quę dicūtur phy-
lacteria, quæ sunt quædam uincula animarum.
Hos autem qui talibus rebus utūtur, proijci ab
ecclesia iussimus.

ὅτι οὐ δεῖ παρὰ τῶν ἰουδαίων ἢ αἱρετικῶν τὰ πεμ- 37
πόμενα ἑορταστικὰ λαμβάνειν, μηδὲ συνεορτά-
ζειν αὐτοῖς.

Non oportet à Iudæis, uel hæreticis feriatica
quæ mittuntur accipere, nec cum eis dies age-
re, feriatos.

ὅτι οὐ δεῖ παρὰ τῶν ἰουδαίων ἄζυμα λαμβάνειν, 38
ἢ κοινωνεῖν ταῖς ἀσεβείαις αὐτῶν.

Non oportet à Iudæis azyma accipere, aut
communicare impietatibus eorum.

ὅτι οὐ δεῖ τοῖς ἔθνεσι συνεορτάζειν, καὶ κοινω- 39
νεῖν τῇ ἀθεότητι αὐτῶν.

Non oportet cum paganis festa celebrare, &
impietatis eorum habere societatem.

ὅτι οὐ δεῖ ἐπισκόπους καλουμένους εἰς σύνοδον, 40
καταφρονεῖν, ἀλλ' ἀπιέναι καὶ διδάσκειν ἢ δι-
δάσκεσθαι, εἰς κατόρθωσιν τῆς ἐκκλησίας καὶ τῶν λοι-
πῶν. εἰ δὲ καταφρονήσειεν ὁ τοιοῦτος, ἑαυτὸν αἰ-
τιάσεται. παρεκτὸς, εἰ μὴ δι' ἀνωμαλίαν ἀπολιμ-
πάνοιτο.

Non oportet uocatos Episcopos ad synodū
cōtemnere, sed abire debere, & aut docere, aut
doceri quæ sunt ad ecclesiæ cæterorumque cor-
rectionem utilia. Quòd si cōtempserit, seipsum
uidetur accusasse, nisi fortè pro infirmitate ire
non possit.

ὅτι οὐ δεῖ ἱερατικὸν ἢ κληρικὸν ἄνευ κανονικῶν 41
γραμμάτων ὁδεύειν.

Non oportet ministrum altaris uel etiam lai
cum sine canonicis literis proficisci.

ὅτι οὐ δεῖ ἱερατικὸν ἢ κληρικὸν ἄνευ κελεύσεως 42
ἐπισκόπου ὁδεύειν.

Non oportet ministrum altaris, uel quemli-
bet clericum præter iussionem episcopi ad pe-
regrinandum proficisci.

ὅτι οὐ δεῖ ὑπηρέτας, κἂν βραχύ, τὰς θύρας ἐγ- 43
καταλείπειν καὶ τῇ εὐχῇ σχολάζειν.

Non oportet ministros. i. ostiarios, uel breui
temporis ab ostijs deesse, & orationi uacare.

ὅτι οὐ δεῖ γυναῖκας ἐν τῷ θυσιαστηρίῳ εἰσέρχεσθαι. 44

Non oportet mulieres ingredi ad altare.

45 Nó oportet post duas hebdomadas quadragesimæ quenquam ad baptismum suscipi.

ὅτι οὐ δεῖ μετὰ δύο ἑβδομάδας δέχεσθαι εἰς τὸ φώτισμα τῆς τεσσαρακοστῆς.

46 Baptizandos oportet fidei symbolum discere, & quinta feria ultimæ septimanæ uel Episcopo uel Presbytero reddere.

ὅτι δεῖ τοὺς φωτιζομένους, τὴν πίστιν ἐκμανθάνειν, καὶ τῇ πέμπτῃ τῆς ἑβδομάδος ἀπαγγέλλειν τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις.

47 Qui in ægritudine constituti baptismũ perceperunt, facti sani fidei symbolum doceantur, ut nouerint qua donatione digni sunt habiti.

ὅτι δεῖ τοὺς ἐν νόσῳ παραλαμβάνοντας τὸ φώτισμα, καὶ εἶτα ἀναστάντας, ἐκμανθάνειν τὴν πίστιν, καὶ γινώσκειν ὅτι θείας δωρεᾶς κατηξιώθησαν.

48 Oportet baptizatos post baptismum sacratissimum chrisma percipere, & Christi regni participes fieri.

ὅτι δεῖ τοὺς φωτιζομένους μετὰ τὸ βάπτισμα χρίεσθαι χρίσματι ἐπουρανίῳ, καὶ μετόχους εἶναι τῆς βασιλείας τοῦ χριστοῦ.

49 Non oportet in quadragesima panem offerri nisi sabbato & dominica tantùm.

ὅτι οὐ δεῖ τῇ τεσσαρακοστῇ ἄρτον προσφέρειν, εἰ μὴ ἐν σαββάτῳ καὶ κυριακῇ μόνον.

50 Nó oportet in quadragesimæ quinta feria ultimæ hebdomadę ieiunium dissolui & totã quadragesimam inhonorari, sed per totos hos dies ieiunare, & escis aridioribus uti.

ὅτι οὐ δεῖ ἐν τεσσαρακοστῇ τῇ ὑστέρᾳ ἑβδομάδι τὴν πέμπτην λύειν, καὶ ὅλην τὴν τεσσαρακοστὴν ἀτιμάζειν. ἀλλὰ δεῖ πᾶσαν τὴν τεσσαρακοστὴν νηστεύειν ξηροφαγοῦντας.

51 Non oportet in quadragesima martyrum natalitia celebrari, sed eorum in sabbato & dominica tantum memoriam fieri.

ὅτι οὐ δεῖ ἐν τεσσαρακοστῇ μαρτύρων γενέθλιον ἐπιτελεῖν, ἀλλὰ τῶν ἁγίων μαρτύρων μνείαν ποιεῖν ἐν τοῖς σαββάτοις καὶ κυριακαῖς.

52 Non oportet in quadragesima aut nuptias, uel quælibet natalitia celebrare.

ὅτι οὐ δεῖ ἐν τεσσαρακοστῇ γάμους ἢ γενέθλια ἐπιτελεῖν.

53 Non oportet Christianos ad nuptias euntes tripudiare, uel saltare, sed castè cœnare uel prãdere, sicut competit Christianis.

ὅτι οὐ δεῖ χριστιανοὺς εἰς γάμους ἀπερχομένους, βαλλίζειν ἢ ὀρχεῖσθαι. ἀλλὰ σεμνῶς δειπνεῖν ἢ ἀριστᾶν, ὡς πρέπει χριστιανοῖς.

54 Non oportere ministros altaris, uel quoslibet clericos uel etiam laicos Christianos ex symbolis conuiuia celebrare.

ὅτι οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς ἐκ συμβολῆς συμπόσια ἐπιτελεῖν, ἀλλ' οὐδὲ λαϊκούς.

55 Non oportet Presbyteros ante ingressum episcopi ingredi ecclesiam, & sedere in tribunalibus, sed cum episcopo ingredi: nisi fortè aut ęgrotet episcopus, aut peregre profectus sit.

ὅτι οὐ δεῖ πρεσβυτέρους πρὸ τῆς εἰσόδου τοῦ ἐπισκόπου εἰσιέναι καὶ καθέζεσθαι ἐν τῷ βήματι. ἀλλὰ μετὰ τοῦ ἐπισκόπου εἰσιέναι. πλὴν εἰ μὴ ἀνωμαλοίη ἢ ἀποδημεῖ ὁ ἐπίσκοπος.

56 Non debere in uillis & uicis episcopos ordinari, aut uisitatores id est, qui circumeãt constitui. Hos autem qui ante hoc ordinati sunt, nihil agere censemus sine conscientia Episcopi ciuitatis. Similiter etiam Presbyteri nihil sine præce præcepto & consilio Episcopi agant.

ὅτι οὐ δεῖ ἐν ταῖς κώμαις καὶ ἐν ταῖς χώραις καθίστασθαι ἐπισκόπους ἢ περιοδευτάς, τοὺς μέντοι ἤδη προκατασταθέντας, μηδὲν πράττειν ἄνευ γνώμης τοῦ ἐπισκόπου τοῦ ἐν τῇ πόλει. ὡσαύτως δὲ καὶ τοὺς πρεσβυτέρους μηδὲν πράττειν ἄνευ τῆς γνώμης τοῦ ἐπισκόπου.

57 Non oportet in domibus oblationes ab Episcopis siue Presbyteris fieri.

ὅτι οὐ δεῖ ἐν τοῖς οἴκοις προσφορὰς γίνεσθαι παρὰ ἐπισκόπων ἢ πρεσβυτέρων.

58 Non oportet psalmos priuatos in ecclesijs dici, neque libros qui sunt extra canonem legere, nisi solos canonicos noui & ueteris testamenti.

ὅτι οὐ δεῖ ἰδιωτικοὺς ψαλμοὺς λέγεσθαι ἐν τῇ ἐκκλησίᾳ, οὐδὲ ἀκανόνιστα βιβλία. ἀλλὰ μόνα τὰ κανονικὰ τῆς καινῆς καὶ παλαιᾶς διαθήκης.

ΟΣΑ ΔΕΙ ΒΙΒΛΙΑ ΑΝΑΓΙ-
νώσκεσθαι.

Παλαιᾶς Διαθήκης.

α Γένεσις κόσμου. β ἔξοδος ἐξ αἰγύπτου. γ λευϊτικόν. δ ἀριθμοί. ε δευτερονόμιον. ϛ ἰησοῦ ναυή. ζ κριταί. ῥούθ. η ἐσθήρ. θ βασιλειῶν α β. ι βασιλειῶν γ δ. ια παραλειπόμενα α β. ιβ ἔσδρας α β. ιγ βίβλος ψαλμῶν ρν. ιδ παροιμίαι σολομῶντος. ιε ἐκκλησιαστής. ιϛ ᾆσμα ᾀσμάτων. ιζ ἰώβ. ιη δώδεκα προφῆται. ιθ ἡσαΐας. κ ἱερεμίας. βαροὺχ θρῆνοι, καὶ ἐπιστολαί. κα ἰεζεκιήλ. κβ δανιήλ.

ΚΑΙΝΗΣ ΔΙΑΘΗΚΗΣ.
Εὐαγγέλια τέσσαρα.

Κατὰ ματθαῖον, κατὰ μάρκον, κατὰ λουκᾶν, κατὰ ἰωάννην. Πράξεις ἀποστόλων,

Ἐπιστολαὶ καθολικαὶ ἑπτά, οὕτως. Ἰακώβου μία. πέτρου δύο, ἰωάννου τρεῖς, ἰούδα μία.

Ἐπιστολαὶ Παύλου δεκατέσσαρες. πρὸς ῥωμαίους μία, πρὸς κορινθίους δύο, πρὸς γαλάτας μία, πρὸς ἐφεσίους μία, πρὸς φιλιππησίους μία, πρὸς κολασσαεῖς μία, πρὸς θεσσαλονικεῖς δύο, πρὸς ἑβραίους μία, πρὸς τιμόθεον δύο, πρὸς τίτον μία.

QVAENAM LEGERE O-
porteat.

*Veteris Testamenti.*

1 Genesis mundi. 2 Exodus ex Aegypto. 3 Leuiticus. 4 Numeri. 5 Deut. 6 Iesu Naue. 7 Iudicum. Ruth. 8 Esther. 9 Regum primus & secundus. 10 Regum tertius & quartus. 11 Paralipomenon primus & secundus. 12 Esdræ primus & secundus. 13 Libri Psalmorum centum quinquaginta. 14 Prouerbia Solomonis. 15 Ecclesiastes. 16 Cantica Canticorum. 17 Iob. 18 Duodecim prophetæ. 19 Esaias. 20 Ieremias, Baruch Threni, & epistolæ. 21 Ezechiel. 22 Daniel.

NOVI TESTAMENTI.
Quatuor Euangelia.

Secundum Matthæum, secundum Marcum, secundum Lucam, secundum Ioannem. Acta Apostolorum.

Epistolæ catholicę septem, nempe Iacobi una. Petri duæ. Ioannis tres. Iudæ una.

Epistolæ Pauli quatuordecim, ad Romanos una, ad Corinthios duæ, ad Galathas una, ad Ephesios una, ad Philipenses una, ad Colossenses una, ad Thessalonicéses duæ, ad Hebręos una, ad Thimotheum duæ, ad Titum una.

# ΚΑΝΟΝΕΣ ΤΩΝ ΑΓΙΩΝ
## ΠΑΤΕΡΩΝ ΤΩΝ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΣΥΝΕΛΘΟΝΤΩΝ

ἐν ὑπατείᾳ φλαβίου εὐχερίου, καὶ φλαβίου εὐαγρίου, τῶν λαμπροτάτων, πρὸ ἑπτὰ ἰδῶν ἰουλίων.

# CANONES SANCTORVM
## PATRVM, QVI CONSTANTINOPOLI CONVEnerunt

uerunt Consulatu illustiss. Flauij Eucherij & Flauij Euaprij ante diem 7 idus Iulij.

Προσφωνητικὸς τῆς αὐτῆς ἁγίας συνόδου, πρὸς τὸν εὐσεβέστατον βασιλέα Θεοδόσιον τὸν μέγαν, ᾧ ὑπέταξαν τοὺς παρ' αὐτῶν ἐκτεθέντας κανόνας.

Τῷ εὐσεβεστάτῳ, καὶ θεοφιλεστάτῳ βασιλεῖ θεοδοσίῳ, ἡ ἁγία σύνοδος τῶν ἐπισκόπων τῶν ἐκ διαφόρων ἐπαρχιῶν συνελθόντων ἐν κωνσταντινουπόλει. ἀρχὴ μὲν ἡμῖν τοῦ πρὸς τὴν σὴν εὐσέβειαν γράμματος, εὐχαριστία πρὸς τὸν θεὸν τὸν ἀναδείξαντα τῆς ὑμετέρας εὐσεβείας τὴν βασιλείαν, ἐπὶ κοινῇ τῶν ἐκκλησιῶν εἰρήνῃ, καὶ τῆς ὑγιοῦς πίστεως στηριγμόν. ἀποδιδόντες δὲ τῷ θεῷ τὴν ὀφειλομένην εὐχαριστίαν, ἀναγκαίως καὶ τὰ γεγενημένα κατὰ τὴν ἁγίαν σύνοδον πρὸς τὴν σὴν εὐσέβειαν ἀναφέρομεν. καὶ ὅτι συνελθόντες εἰς τὴν κωνσταντινούπολιν κατὰ

SANCTAE synodi dedicatoria ad pijssimum regem Theodosiũ magnum, cui canones ab ipsis expositos subiecerunt.

Pijssimo & Dei amantissimo regi Theodosio sancta synodus Episcoporum qui ex diuersis regionibus Constantinopoli cógregati sunt. Principium literarum ad pietatem tuã nobis est gratiarum actio erga Deum, qui aliud pium regnum exhibuit ad cõmunem ecclesiarũ pacem, & sanæ fidei confirmationem: reddita autẽ Deo debita gratiarũ actione necessariò ea quæ in sancta synodo acta sunt ad tuam pietatem referimus. Nẽpe quod Constantinopolim secundum